## Texte 12 du livre scolaire – 1ere année de Collège grec

Διοδώρου Σικελιώτου, Βιβλιοθήκη, 10 . 4. 3-6 (διασκευή)

.

**Διονυσίου τυραννοῦντος Φιντίας τις Πυθαγόρειος ἐπιβεβουλευκώς τῷ τυράννῳ, μέλλων δὲ τῆς τιμωρίας τυγχάνειν, ᾐτήσατο παρὰ τοῦ Διονυσίου χρόνον εἰς τὸ πρότερον ἃ βούλεται διοικῆσαι· δώσειν δ' ἔφησεν ἐγγυητὴν τῶν φίλων ἕνα. Τοῦ δὲ δυνάστου θαυμάσαντος, εἰ τοιοῦτός ἐστι φίλος ὃς ἑαυτὸν εἰς τὴν εἱρκτὴν ἀντ' ἐκείνου παραδώσει, προεκαλέσατό τινα τῶν γνωρίμων ὁ Φιντίας, Δάμωνα ὄνομα, Πυθαγόρειον φιλόσοφον, ὃς ἔγγυος εὐθὺς ἐγενήθη. Τινὲς μὲν οὖν ἐπῄνουν τὴν ὑπερβολὴν τῆς πρὸς τοὺς φίλους εὐνοίας, τινὲς δὲ τοῦ ἐγγύου προπέτειαν καὶ μανίαν κατεγίνωσκον. Πρὸς δὲ τὴν τεταγμένην ὥραν ἅπας ὁ δῆμος συνέδραμεν, καραδοκῶν εἰ φυλάξει τὴν πίστιν Φιντίας. Ἤδη δὲ τῆς ὥρας συγκλειούσης Φιντίας ἀνελπίστως ἐπὶ τῆς ἐσχάτης τοῦ χρόνου ῥοπῆς δρομαῖος ἦλθε.**
**Θαυμάσας οὖν ὁ Διονύσιος ἀπέλυσεν τῆς τιμωρίας τὸν ἐγκαλούμενον καὶ παρεκάλεσε τοὺς ἄνδρας τρίτον ἑαυτὸν εἰς τὴν φιλίαν προσλαβέσθαι.**

## Traduction en français par Projet Homère

Sous la tyrannie de Denys, un certain Phidias, pythagoricien, qui, pour avoir comploté contre le tyran, allait incessamment être supplicié, demanda à Denys un sursis afin de régler au préalable ses affaires, ajoutant qu'il laisserait un de ses amis comme garant. Comme le tyran s'étonnait de ce qu'il existât un tel ami, susceptible de se faire emprisonner pour un autre, Phidias fit appeler une de ses connaissances, un dénommé Damon, philosophe pythagoricien, lequel sur le champ se porta garant. Si certains louaient cette amitié portée au plus haut degré, d'autres condamnaient l'inconscience et la folie du garant. A l'heure prescrite, tout le peuple se précipita, impatient de voir si Phidias maintiendrait son engagement. Le délai était presque expiré quand Phidias, alors qu'on ne s'y attendait plus, à la toute dernière minute, arriva en courant. Alors, Denys, qui n'en revenait pas / époustouflé, fit remise de sa peine à l'inculpé et il leur demanda de bien vouloir l'accepter, lui-même, comme troisième ami.